κατὰ Ἰωάννην 14:4-14
AGE Ch. 26

Jesus' final conversation with his apostles. Jesus says:

4 καὶ ὅπου ὑπάγω οἴδατε τὴν ὁδόν.
5 λέγει αὐτῷ Θωμᾶς, Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· πῶς δυνάμεθα τὴν ὁδὸν
εἰδέναι;
6 λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται
πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. 7 εἰ ἐγνώκατέ με, καὶ τὸν πατέρα μου γνώσεσθε·
καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν.
8 λέγει αὐτῷ Φίλιππος, Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.
9 λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με,
Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα· πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν
πατέρα;
10 οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; τὰ ῥήματα ἃ ἐγὼ
λαλῶ ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα
αὐτοῦ.
11 πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα
αὐτὰ πιστεύετε.
12 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος
ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι·
13 καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ
ἐν τῷ υἱῷ·
14 ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου ἐγὼ ποιήσω.

αἰτήσητε ~ αἰτεῖτε
ἄν marks a hypothetical situation
ἀρκέω be enough
ἄρτι now
δεῖξον (command) show!
δοξασθῇ (3rd sg) is glorified
ἐάν ~ εἰ
ἔγνωκάς (2nd sg) ἐγνώκατε (2nd pl) have known
εἰδέναι (inf act) know
ἑώρακεν (3rd sg) ἑωράκατε (2nd pl) has/have seen
ἑωρακώς –ότος ὁ one who has seen
ζωή -ῆς ἡ life
ἵνα so that
κἀκεῖνος = καὶ ἐκεῖνος
Κύριε Lord!
μένων –οντος ὁ remaining, abiding
μεῖζον –ονος τό greater
οἴδαμεν (1st pl) οἴδατε (2nd pl) know
ὅπου where
οὐδεὶς –ένος ὁ no one
πιστεύων –οντος ὁ believer
ποῦ where?
πῶς how?
ὑπάγω go away